# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΚΑΙ
# ΧΑΙΡΕΤΙΣΜΟΙ

## ΕΙΣ ΤΗΝ ΧΑΡΙΤΟΒΡΥΤΟΝ

# ΤΙΜΙΑΝ ΖΩΝΗΝ

## ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ


ΜΡ ΘΥ
Η ΑΓΙΑ ΖΩΝΗ




# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΑΚΗΡΑΤΟΝ ΤΗΣ ΠΑΝΑΓΝΟΥ ΖΩΝΗΝ ΨΑΛΛΟΜΕΝΟΣ ΕΝ ΤΑΙΣ ΛΙΤΑΝΕΙΑΙΣ ΚΑΙ ΠΑΡΑΚΛΗΣΕΣΙΝ ΕΝΕΚΑ ΝΟΣΟΥ.

**Εὐλογήσαντος τοῦ ἱερέως, λέγομεν τόν Ψαλμὸν ρμϐ′ (142).**

**Κ**ύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δεήσίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

῞Οτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

᾿Εκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

᾿Εμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖρας μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταϐαίνουσιν εἰς λάκκον.

᾿Ακουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

᾿Εξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

᾿Εν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

Καὶ ἀπολεῖς πάντας τοὺς θλίϐοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

**Μεθ' ὅ τό, «*Θεὸς Κύριος*», *καὶ τὰ παρόντα τροπάρια.***

**Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.***

Τῆς Θεοτόκου τῇ Σορῷ νῦν προσδράμωμεν, τῆς πανεντίμου αὐτῆς Ζώνης σὺν δάκρυσιν, ἀπὸ βαθέων κράζοντες ἐκ μέσου ψυχῆς· Ζώνη πανακήρατε, τῆς Μητρὸς τοῦ Κυρίου, λύτρωσαι τοὺς δούλους σου, πάσης νόσου καὶ βλάβης, καὶ λοιμικοῦ θανάτου ἀπειλῆς, εἰς σὲ γὰρ πᾶσαν ἐλπίδα ἡμῶν ἀνεθέμεθα.

**Δόξα. Τὸ αὐτό·**

**Καὶ νῦν. *Ὅμοιον.***

Ἀρωματίζουσαν πηγήν σε γινώσκομεν, καὶ τῇ Σορῷ σου προσπελάζοντες λέγομεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα ἀπάλλαξον, δυσωδίας πταισμάτων, μῦρον τὸ ἀκένωτον ἀναβλύζουσα πᾶσι, τοῖς ὀχετοῖς Ἁγνὴ τῆς σῆς Σοροῦ, ἐν ᾗ ἡ Ζώνη ἡ σὴ τεθησαύρισται.

**Ὁ Ν' (50) ψαλμός,**

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## Καὶ εὐθὺς ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·

Ζώνης με σεπτῆς, δυνάμει σῶσον Κόρη· Ἰωσήφ.

### Ὠδὴ α'.

### Ἦχος πλ. δ'. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε.*

*Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.*

**Ζ**ώνης μοι θείας καὶ σεπτῆς σου Πάναγνε, ἐφιεμένῳ ὑμνεῖν, τὰ θεῖα πελάγη, τῶν θαυμάτων ἄνωθεν, χάριν δώης τῷ δούλῳ σου, καὶ ἀχρείῳ ἱκέτῃ, πυρὸς ὑπέκαυμα πέλοντι, ταῖς ἐξ ἰοβόλου κακώσεσιν.

**Ὡ**ς ὑπερτέρα τῶν ἀγγέλων πέλουσα, Παρθενομῆτορ Ἁγνή, καὶ οὐρανὸς θεῖος, μόνη ἐχρημάτισας τοῦ οὐρανοὺς τανύσαντος, οὕτω Ζώνην σου θείαν, κατέλιπες ἀδιάφθορον, καὶ πηγὴν χαρίτων τοῖς δούλοις σου.

**Ν**ειλῷα ῥεῖθρα ἐξ αὐτῆς ἀρδεύονται, οἱ προσιόντες πιστῶς, νοσημάτων λύσιν, καὶ πταισμάτων ἄφεσιν, οἱ πιστοὶ ἐφαπτόμενοι, τῆς Σοροῦ τῆς ἁγίας, ἐν ᾗ σεπτῶς ἀποτίθεται, Ζώνη τῶν πιστῶν καταφύγιον.

**Ἡ** τὸν Δεσπότην τοῦ παντὸς πανέντιμε, Ζώνη τῆς μόνης Ἁγνῆς, ἐν κοιλίᾳ ὄντα, βρέφος περιστείλασα καὶ χάριν τῶν ἰάσεων, παρ' αὐτοῦ δεξαμένη, νέμοις πλουσίαν τοῖς δούλοις σου, τὴν τῶν αἰτημάτων ἐκπλήρωσιν.

### Ὠδὴ γ'. *Οὐρανίας ἁψῖδος.*

**Σ**ωτηρίας λιμένα, τῶν ψυχικῶν Δέσποινα, καὶ σωματικῶν ἀλγηδόνων σὲ ἐπιγράφομεν, πάντες οἱ δοῦλοι καὶ τῇ Σορῷ τῇ ἁγίᾳ, Ζώνης προσπελάζοντες, ἁγιαζόμεθα.

**Μ**ολυσμάτων παντοίων, καὶ λοιμικῆς θλίψεως, πάσης συμφορᾶς καὶ κινδύνων, ῥῦσαι τοὺς δούλους σου, τοὺς σοὶ προστρέχοντας, καὶ αἰτουμένους ἐν πίστει, τὴν θερμὴν ἀντίληψιν Κόρη τῆς Ζώνης σου.

Ἐλεήμων ὑπάρχεις, καὶ συμπαθὴς Ἄχραντε, ὡς τὸν ἐλεήμονα κόσμου, ἀποκυήσασα, δυνάμει Ζώνης σου, χειμαζομένους σοὺς δούλους, ἀσθενείας λαίλαπι πικρῷ ἀπάλλαξον.

Συνεργὸν τὸν τεχθέντα, ἐκ σῆς γαστρὸς Ἄχραντε, τὸν τὰς ἀσθενείας τοῦ κόσμου πάσας ἰώμενον, κατέχεις ὅλον ἐν σοί, νόσων δυνάμει σῆς Ζώνης, χαλεπῶν ἀπάλλαξον σοὺς δούλους Ἄχραντε.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, τῇ τῆς παντίμου σου Ζώνης, δυνάμει καὶ χάριτι, ἐν αὐτῇ γὰρ καταφεύγομεν ἐν ἀνάγκαις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις, καὶ εὐθὺς τὸ Κάθισμα.**
**Ἦχος β΄. *Πρεσβεία θερμή.***

Τὴν Ζώνην τὴν σήν, κεκτήμεθα ὦ Δέσποινα, φρουρὸν ἀρωγόν, ἐν πάσαις περιστάσεσι, τῇ Σορῷ αὐτῆς προστρέχοντες, ἀεὶ καὶ πίστει κράζοντες, ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, δυνάμει αὐτῆς ἰσχύϊ καὶ χάριτι.

**Ὠδὴ δ΄. *Σύ μου ἰσχὺς Κύριε.***

Ἐφ' ἡμῖν νῦν, σκιὰ θανάτου ἐκύκλωσε, καὶ τοῦ Ἅδου πύλας προσεγγίσαμεν, ἀλλὰ σὺ Μήτηρ ὡς ἀγαθή, χάριτι σῆς Ζώνης θαυμάστωσον τὰ ἐλέη σου, καὶ σῶσον τοὺς ἐν πίστει, ἀδιστάκτῳ βοῶντας, τῇ δυνάμει σου δόξα Πανάχραντε.

Πόνοις δεινοῖς, καὶ ἀμετρήτοις βαλλόμενοι, τῇ τιμίᾳ Ζώνῃ σου προσπίπτομεν, τῇ ἀκηράτω Μῆτερ Ἁγνή, μεθ' ἧς διεζώσω, τὸ πανακήρατον σῶμά σου, διὸ τὴν καταιγίδα, τῆς δεινῆς ἀῤῥωστίας, καὶ τὰ ἄλγη ἐξίασον Δέσποινα.

Τὶς ἐξειπεῖν, δύναται τὰ μεγαλεῖά σου, καὶ σημεῖα, Ζώνη πανακήρατε, τοῖς προσιοῦσί σοι εὐλαβῶς, καὶ ἐφαπτομένοις, παρέχεις, ὡς ἀδιάφθορος· ὅθεν παντοίας λύμης, ἐπηρείας τε πάσης, τῇ δυνάμει σου ῥῦσαι τοὺς δούλους σου.

Ἡ τὸν Θεὸν ἔνδον κοιλίας ὑπάρχοντα, Θεοτόκου ἄνθρωπον γενόμενον, καὶ μὴ λιπόντα τοὺς πατρικούς, κόλπους σεπτὴ Ζώνῃ, Θεοπρεπῶς περιστείλασα, τὴν χάριν ἐκομίσω, ἐξ αὐτοῦ ἰαμάτων, ἣν ἀφθόνως βραβεύεις τοῖς χρῄζουσιν.

**ᾨδὴ ε'. *Ἵνα τί με ἀπώσω.***

Συνπάγησαν βέλη τὰ τῆς ἀσθενείας μου ἄμετρα πταίσαντος, καὶ εἰς βυθὸν Ἅδου, τὸν πανάθλιον συνωθοῦσί με, ἀλλ' οἰκτείρησόν με, ἐλέους οὖσα ἡ Μήτηρ, τῇ δυνάμει τῆς Ζώνης σου Ἄχραντε.

Δέχου νῦν τῶν σῶν δούλων, τὰς δεήσεις Πάναγνε τῶν προσφυγόντων σοι, καὶ ἐξαιτουμένων, τὴν ἀντίληψιν τῆς προστασίας σου, οἴκτειρον οὖν τούτους, ὡς συμπαθὴς καὶ ἐλεήμων, καὶ ἐκ πάσης κακώσεως λύτρωσαι.

Ὑπὸ νύκτα τοῦ βίου, θύελλα κατέλαβε πάσης στενώσεως, καὶ ἐσκότασέ με, ἀσθενείας Παρθένε σκοτόμαινα, ἀλλ' ἀνάτειλόν μοι, ἀναψυχῆς ἄδυτον φέγγος, τῆς σῆς Ζώνης δυνάμει καὶ χάριτι.

Νῦν ἐφ' ἡμῖν Κόρη, καταιγίδες φέρονται τῶν περιστάσεων, ἡμᾶς συγκαλύψαι, τῇ δικαίᾳ ὀργῇ κατεπείγονται· ἀλλὰ μὴ παρίδῃς, δεινῶς ἡμᾶς χειμαζομένους, τῇ δυνάμει σῆς Ζώνης ἐλπίζοντας.

**ᾨδὴ ϛ'. *Ἱλάσθητί μοι Σωτήρ.***

Ἁμαρτιῶν νῦν ἡμᾶς, ζάλαι πικρῶς καταιγίζουσι, καὶ λοιμικῆς συμφορᾶς, χειμάζουσι κύματα, Ζώνη πανακήρατε ἔκχεον σὴν χάριν, ἐφ' ἡμῖν τοῖς ἁμαρτάνουσι.

Μαρία Μῆτερ Θεοῦ, τὸ καθαρὸν ἐνδιαίτημα, καθάρισον τοὺς πιστούς, ἐκ νόσων καὶ θλίψεων, καὶ τῆς συνεχούσης νῦν, ἀσθενείας ῥῦσαι, τῇ σῇ Ζώνῃ καταφεύγοντας.

Εἰς πέλαγος ἀχανές, ἀσθενειῶν περικείμεθα, τὸ πέλαγος δὲ τοῦ σοῦ, αἰτούμεθα Δέσποινα, ἐλέους οἱ τάλανες, ἵνα ἀναγάγῃς, ἐκ βυθοῦ τοῦ τῆς κακώσεως.

Ἱλάσθητι ἀγαθή, τοῖς δούλοις σου κακῶς πάσχουσιν, ἐκ νόσου ὀδυνηρᾶς, καὶ σφοδρᾶς φλογώσεως, κραταιᾷ δυνάμει δέ, τῆς σῆς Ζώνης δίδου, τὴν ὑγείαν Μητροπάρθενε.

Διάσῳσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, τῇ τῆς παντίμου σου Ζώνης, δυνάμει καὶ χάριτι, ἐν αὐτῇ γὰρ καταφεύγομεν ἐν ἀνάγκαις.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα Μητρικὴν παῤῥησίαν.

**Αἴτησις, καὶ εὐθὺς τὸ Κάθισμα.**
**Ἦχος δ΄. *Προστασία τῶν Χριστιανῶν.***

**Π**ροστασίαν ἐν συμφοραῖς σὲ κεκτήμεθα, καὶ μεσῖτιν πρὸς τὸν σὸν Υἱὸν προβαλλόμεθα, οἱ ταπεινοὶ οἰκέται σου Μῆτερ Θεοῦ, καὶ νῦν πρόφθασον ὡς συμπαθής, εἰς τὴν βοήθειαν ἡμῶν τῇ τῆς Ζώνης σου χάριτι· τάχυνον εἰς πρεσβείαν, καὶ ῥῦσαι πάσης ἀνάγκης, ἵνα ὑμνῶμεν ἀεὶ τὰ θεῖα μεγαλεῖά Σου.

**Προκείμενον.**

**Μ**νησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Στίχ.** *Ἄκουσον Θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.*

**Τό, Πᾶσα πνοή.**
**Εὐαγγέλιον· Κατὰ Λουκᾶν.**

**Ἐ**ν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῃ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῳ Σωτῆρι μου ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς· καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

**Δόξα. Ἦχος β΄.**

**Τ**ῆς σῆς Πανσέπτου Ζώνης, Παντάνασσα δυνάμει, σῷζε τοὺς σοὺς οἰκέτας, ἀπὸ παντοίας βλάβης.

**Καὶ νῦν. Ὁ αὐτός.**

**Χ**άριτι καὶ δυνάμει, τῆς Ζώνης σου Παρθένε, ἐκ πάσης ἐπηρείας ἀπάλλαξον τοὺς δούλους σου.

**Καὶ τὸ Ἰδιόμελον.**

**Στίχ.** *Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Ἦχος πλ. β'. *Ὅλην ἀποθέμενοι.***

**Ζ**ώνη πανακήρατε, τῆς Παναγίας Παρθένου, σεπτὴ ἀδιάφθορε, καὶ σειρὰ οὐράνιε, τῶν τιμώντων σε, ἡ τὸν Θεὸν Λόγον, ἐν κοιλίᾳ ὄντα, ἐνειλήσασα σαρκούμενον, ἐξ οὗ τὴν ἄφθονον, χάριν ἐκομίσω παρέ χουσα, τοῖς πάντοθεν προστρέχουσι, καὶ παραμυθίαν λαμβάνουσιν, ἐκ τῆς ἀκενώτου, πηγῆς σου τῶν θαυμάτων δωρεάν, ἥνπερ πηγάζεις ἑ κάστοτε, τοῖς προσκαλουμένοις σε.

**Τό.** Σῶσον ὁ Θεὸς τὸν λαόν σου. **Καὶ τὰ λοιπά.**

**Ὠδὴ ζ'. *Παῖδες Ἑβραίων ἐν καμίνῳ.***

**Σ**τῆσον τὸν σάλον τῶν κυμάτων, καὶ κατεύνασον τὴν ζάλην τῶν ἀμέ τρων, συμφορῶν καὶ δεινῶν, ἡμῖν ἐπαναστάσεων, τῶν πεποιθότων Δέσποινα, τῇ δυνάμει τῆς σῆς Ζώνης.

**Ὥ**σπερ ποτὲ αἱμοῤῥοοῦσα, ἁψαμένη πιστῶς, κρασπέδων τοῦ Υἱοῦ σου, κατεξήρανε δεινήν, πληγῆς ῥύσιν αἱμάτων, οὕτω πιστῶς οἱ ψαύοντες, Ζώνης σῆς παθῶν λυτροῦνται.

**Σ**ῶσον Ἁγνὴ παντοίας λώβης, καὶ κακώσεως καὶ πάσης ἐπηρείας, τὸν προστρέχοντα νῦν λαόν σου μετὰ πόθου, Σορῷ τῆς θείας Ζώνης σου, καὶ τὴν χάριν ἐξαιτοῦντα.

**Ὅ**λην μου πᾶσαν τὴν ἐλπίδα, ἀναθέμενον πρὸς σὲ τὴν Θεοτόκον· μὴ παρίδῃς με νῦν εἰς βάθη ἀπωλείας, περιπεσόντα Δέσποινα, ἀλλ' ἀνάστησον καὶ σῶσον.

**Ν**όσων παντοίων ναὶ κινδύνων, ἐλευθέρωσον Μητρόθεε σοὺς δούλους, τοὺς αἰτοῦντας θερμῶς, χάριν σῆς θείας Ζώνης, καὶ τὰς αἰτήσεις πλήρωσον, ἵνα πόθῳ σὲ ὑμνῶμεν.

**Ὠδὴ η'. *Ἑπταπλασίως κάμινον.***

**Κ**όσμος καθάπερ ἅγιος, ἡ Σορὸς ἀναδέδεικται, Ζώνης τῆς παντίμου, τῆς Ἁγνῆς Θεόπαιδος, πηγή τε ἀνέκλειπτος, τῶν ἰαμάτων πᾶσι πιστοῖς, τοῖς μετ' εὐλαβείας, ἐν αὐτῇ προσιοῦσιν, ἐξ ἧς ἄφθονα ῥεῖθρα, προχέουσι ζακόρως τοῖς πίστει προσκυνοῦσιν αὐτὴν εἰς τοὺς αἰῶνας.

**Ὀ**δυνηρῶς στενάζομεν ἀπὸ κλίνης κακώσεων, καὶ ἀπὸ παντοίας, νόσου πιεζόμενοι, πρὸς σὲ τὴν πανάμωμον, τὰ τῆς καρδίας ὄμματα, ὅλως ἐπασχολοῦντες, θεραπείαν αἰτοῦμεν, δυνάμει τῆς σῆς Ζώνης, ἣν ἐκ πόθου τιμῶμεν, καὶ καταλιπαροῦμεν πιστῶς εἰς τοὺς αἰῶνας.

Ῥᾶνον σεμνὴ τὴν χάριν σου, τοῖς δεινῶς ἤδη πάσχουσι, καὶ κακουχουμένοις ὑπὸ τοῦ ἀλάστορος, δυνάμει τῆς Ζώνης σου, τῆς πανολβίου καὶ χρυσαυγοῦς· καὶ ἔγειρον ἐκ τάφου ἀπογνώσεως ψάλλειν· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἡ κραταιὰ βοήθεια, καὶ ἑτοίμη ἀντίληψις, τῶν ἀπηλπισμένων, ἐλπὶς ἀκατααίχυντε, ἐπίσκεψαι κάμνοντας, ὀδυνηρῶς τοὺς δούλους σου, κούφισον τὸ βάρος, τῆς δεινῆς ῥαθυμίας, ἀπέλασον τὴν νόσον, τῆς λοιμώδους ἀνάγκης, δυνάμει τῆς σῆς Ζώνης, Παρθένε Θεοτόκε.

### Ὠδὴ θ'. *Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.*

Ἰδοὺ τῶν ἰαμάτων ὁ θησαυρός, καὶ θαυμάτων τὸ ἄπειρον πέλαγος, δεῦτε πιστοί, πόθῳ ἐξαντλήσατε ἐξ αὐτῆς, τῆς ἀκενώτου χάριτος, ῥῶσιν εὐλογίαν ἁγιασμόν, ἐν ᾗ πᾶς ὁ προσφεύγων, ἐκ πίστεως εὑρίσκει, τῶν αἰτηματων δόσιν ἄμισθον.

Ὡραίως διεζώσω παναληθῶς, τὴν τὸ γένος ἡμῶν ὡραΐσασαν μόνην Ἁγνήν, τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, τὴν τὸν Θεὸν χωρήσασαν, ὄντα ἐν κοιλίᾳ σωματικῶς, ἐξ οὗ τὴν ἀφθονίαν, τῆς χάριτος ἐδέξω, τῶν ἰαμάτων Ζώνη ἄφθορε.

Σημείων καὶ τεράτων ὠκεανόν, ἀνεδείξω τὴν Ζώνην σου ἄφθορε, δι' ἧς ἡμῖν, τοῖς διακειμένοις ὀδυνηρῶς, καὶ θλιβομένοις πάντοθεν, ἐκ τῶν ἀμετρήτων ἁμαρτιῶν, τὴν ἴασιν παράσχοις, ψυχῶν τε καὶ σωματων, ὅπως σωθέντες σὲ γεραίρωμεν.

Ἡ Ζώνη σου ἡ θεία καὶ φεραυγής, ἀπαστράπτει βολὰς Θεονύμφευτε, τῶν ὑπὲρ νοῦν, ὄντως καὶ θαυμάτων ὑπερφυῶν, τοῖς προσιοῦσι πάντοτε, πόθῳ καὶ καρδίᾳ εἰλικρινεῖ, δι' ἧς καὶ νῦν τὸν σάλον, πράϋνον Θεοτόκε, τῆς συνεχούσης ἡμᾶς θλίψεως.

Φιλίας με δολίας τοῦ πονηροῦ, καὶ παθῶν ψυχοφθόρων ἀπάλλαξον, τὸν ἐπὶ σοί, πᾶσαν τὴν ἐλπίδα ὡς κραταιᾷ, Παρθένε ἀνατείνοντα, καὶ προσπεφευγότα ὅλῃ ψυχῇ, καὶ πόθῳ καὶ καρδίᾳ, τὴν ἄμεσον αἰτοῦντα, τῶν ἐπταισμένων ἥν μοι δώρησαι.

### Καὶ εὐθὺς ψάλλομεν ὁ *«Ἄξιόν ἐστι»*, καὶ τὰ ἑξῆς Μεγαλυνάρια.

Ζώνη πολυτίμητε τῆς Ἁγνῆς, πηγὴ τῶν θαυμάτων, καὶ χαρίτων ὁ θησαυρός, σῷσον τοὺς σοὺς δούλους, ἀπὸ παντοίας βλάβης, ὡς τῆς ζωῆς τὸ σκεῦος, σὺ περιζώσασα..

Ζώνη πανακήρατε τῆς Ἁγνῆς, καὶ Μητρὸς τοῦ Λόγου, τοῦ Θεοῦ μου παναληθῶς, ῥῦσαι πάσης λώβης καὶ ψυχοφθόρου πάθους, πάντας τοὺς ἐν ἀνάγκαις εἰς σὲ προστρέχοντας.

Σκέπην καὶ κραταίωμα τοῖς πιστοῖς, φύλακα καὶ ῥύστην τοῖς τιμῶσι πανευλαβῶς, καὶ μετὰ ζεούσης, καρδίας προσκυνοῦσι, τὴν πάντιμόν σου Ζώνην, Παρθένε δέδωκας.

Θρόνος ὥσπερ ἅγιος ἡ Σορός, ἔνδον ἐν ἀδύτοις, κατατίθεται ἱεροῖς, Ζώνην ἔνδον σχοῦσα, τῆς μόνης Θεοτόκου, ἐξ ἧς οἱ προσιόντες, ῥῶσιν ἀρύονται.

Λύσιν μοι βραβεῦσαι, τῶν δυσχερῶν, καὶ ἀρίστου κτῆσιν, Πανακήρατε τοῦ Θεοῦ, Ζώνη Μητρὸς Λόγου, δέομαι τῷ σῷ δούλῳ, ἐπικαλουμένῳ, τὴν σὴν ἀντίληψιν.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, σὰς ἀχράντους χεῖρας αἷς ἐβάστασας τὸν Θεόν, ἆρον πρὸς Υἱόν σου, χάριτι καὶ δυνάμει, τῆς Ζώνης σου τῆς θείας, τοῦ οἰκτιρῆσαι ἡμᾶς.

Στέφανον ὑπέρλαμπρον ἡ σεπτή, πιστῶν Ἐκκλησίαα, περιέθετο εὐαγῶς, τὴν θείαν σου Ζώνην, Παντάνασσα Παρθένε, δι᾿ ἧς τροποῦται πάντα, ἐχθρῶν φρυάγματα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ Δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

**Εἶτα τὸ Τρισάγιον καὶ τὰ παρόντα τροπάρια·**

***Ἦχος πλ. β΄.***

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

***Δόξα.***

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ᾿ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

***Καὶ νῦν. Θεοτοκίον.***

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσαιμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

**Καὶ τὰ λοιπά, κατὰ τὸ σύνηθες. Ἐκτενὴς καὶ Ἀπόλυσις.**

**Εἶθ' οὕτω, ψάλλομεν κατὰ τὸν ἀσπασμὸν τὰ παρόντα τροπάρια.**
**Ἦχος β'. *Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.***

**Π**άντας ἡμᾶς οἴκτειρον Ἁγνή, τοὺς τὴν σὴν ἀκήρατον Ζώνην, προσπτυσσομένους πιστῶς, καὶ τὴν σὴν ἀντίληψιν ἐπιζητοῦντας θερμῶς, καὶ τῶν νόσων τὴν κάκωσιν, ἐκποδὼν ποιοῦσα, σκέπε καὶ περίσωζε ἐξ ἐπηρείας ἐχθρῶν, ῥῦσαι καὶ φθορᾶς καὶ κινδύνων, καὶ ἐπιτυχεῖν τοῦ Υἱοῦ σου Βασιλείας Κόρη καταξίωσον.

**Δ**έσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Τ**ὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Καὶ γίνεται τελεία Ἀπόλυσις.**



# ΧΑΙΡΕΤΙΣΜΟΙ

## ΗΤΟΙ ΟΙΚΟΙ ΚΔ΄ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΚΑΙ ΥΠΕΡΤΙΜΟΝ ΖΩΝΗΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

**Κοντάκιον.**

***Ἦχος πλ.δ΄. Τῇ ὑπερμάχῳ.***

**Τ**ῇ ὑπερτίμῳ Θεοτόκε θείᾳ Ζώνῃ σου, μετ' εὐλαβείας προσερχόμενοι πληρούμεθα, φωτισμοῦ καὶ εὐωδίας ὑπερκοσμίου. Ἀλλ' ὡς πέλαγος Παρθένε ἀγαθότητος, ἡμᾶς ζῶσον τῇ δυνάμει αὐτῆς Ἄχραντε, τοὺς κραυγάζοντας·

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Ὁ Οἶκος.**

**Ἄ**γγελοι ἀοράτως, τὴν ἁγίαν σου Ζώνην, ἐν φόβῳ περιέπουσι Κόρη· ἡμεῖς δὲ ὄντες ἐν σαρκί, προσπίπτομεν πρὸς αὐτὴν μετὰ πίστεως, ἁγιασμὸν λαμβάνοντες, καὶ βοῶμεν ἐν εὐλαβείᾳ·

Χαῖρε, ἡ Ζώνη τῆς Θεοτόκου,
χαῖρε, ἡ φαῦσις παντὸς τοῦ κόσμου.
Χαῖρε, τῆς Ἀχράντου Παρθένου διάζωμα,
χαῖρε, Ἐκκλησίας ἁπάσης θησαύρισμα.
Χαῖρε, Ζώνη πολυτίμητε τῆς Ἀνάσσης οὐρανῶν,
χαῖρε, ἄνθος εὐωδέστατον εὐσεβῶν Χριστιανῶν.
Χαῖρε, ὅτι τὸ σῶμα ἔζωσας τῆς Παρθένου,
χαῖρε, ὅτι ἐκλύεις τὴν ἰσχὺν τοῦ δολίου.
Χαῖρε, λαμπὰς τῆς χάριτος πάμφωτος,
χαῖρε, πηγὴ θαυμάτων ἀκένωτος.
Χαῖρε, δι' ἧς οἱ πιστοὶ φωταυγοῦνται,
χαῖρε, δι' ἧς οἱ ἐχθροὶ καταργοῦνται.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Β**λέψον Θεογεννῆτορ, ἐν ὄμματι εὐσπλάγχνῳ, τοὺς πίστει τῇ ἁγίᾳ σου Ζώνῃ, οἷα ἁγιάσματι σεπτῷ, προσπίπτοντας καὶ αἰτοῦντας τὴν χάριν σου· ἀήττητον γὰρ δύναμιν, δίδως δι' αὐτῆς τοῖς βοῶσιν·

**Ἀλληλούϊα.**

**Γ**έγονε Θεοτόκε, τῆς τιμίας σου Ζώνης, ἡ μετένεξις τῇ Βυζαντίδι, πηγὴ εὐφροσύνης ἀληθοῦς· τὴν γὰρ Βασιλίδα θᾶττον ἰάσατο, ἡμῖν δὲ χάριν ἄφθονον, ἀεὶ παρέχει τοῖς βοῶσι·

Χαῖρε πηγὴ χαρᾶς αἰωνίου,
χαῖρε κρατὴρ τρυφῆς ψυχοτρόφου.
Χαῖρε ἣν ἡ Πάναγνος Παρθένος διέζωσε,
χαῖρε ἥπερ ἐν Ἄθῳ ὡς φῶς ἐπέλαμψε.
Χαῖρε ὅτι ἐθεράπευσας τὴν βασίλισσαν Ζώην,
χαῖρε ὅτι βλύζεις ἅπασιν εὐφροσύνην νοητήν.
Χαῖρε σειρὰ παναγία τῆς Ἁγνῆς Θεοτόκου,
χαῖρε βέλος πυρφόρον κατ' ἐχθροῦ βροτοκτόνου.
Χαῖρε χαρᾶς αἰτία καὶ πρόξενος,
χαῖρε ψυχῶν λιμὴν ἀκλυδώνιστος.
Χαῖρε Χριστῷ εὐσεβῶς συνδεσμοῦσα,
χαῖρε παθῶν τὰς ὁρμὰς καταργοῦσα

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Δ**έδωκας τὴν σὴν Ζώνην, τῷ Θωμᾷ Θεοτόκε, πρὸς τὸν Υἱόν σου ἀνερχομένη· καὶ δι' αὐτοῦ ὡς δῶρον σεπτόν, καὶ ἀγαθῶν καταλέλοιπας πλήρωμα, αὐτὴν ἡμῖν Πανύμνητε, τοῖς σὲ ὑμνοῦσι καὶ βοῶσιν·

**Ἀλληλούϊα.**

**Ἔ**χει Βατοπαιδίου, ἡ ἁγία Μονή σου, ὡς πλοῦτον ἀναφαίρετον Κόρη, καὶ ὡς στήλην τῆς σῆς ἀρωγῆς, τὴν μυρίπνοον καὶ πάντιμον Ζώνην σου, ἣ εὐλαβῶς προσπίπτουσα, ἐν κατανύξει ταύτῃ κράζει·

Χαῖρε ὁ πλοῦτος τῆς ἀφθαρσίας,
χαῖρε ἡ στήλη τῆς συμπαθείας.
Χαῖρε χορηγὲ ἀγαθῶν ἀνεξάντλητε,
χαῖρε ἑδρασμὲ Μοναστῶν ἀδιάσειστε.
Χαῖρε Ζώνη πανυπέρτιμε τῶν Ἀγγέλων χαρμονή,
χαῖρε Μοναζόντων στήριγμα καὶ δεινῶν ἀποτροπή.
Χαῖρε Βατοπαιδίου τὸ πολύτιμον γέρας,
χαῖρε τῶν εὐσεβούντων ὑμνῳδία καὶ κέρας.
Χαῖρε ὀσμὴν οὐράνιον πνέουσα,
χαῖρε ἰσχὺν ἀήττητον νέμουσα.
Χαῖρε δι' ἧς Μονασταὶ κραταιοῦνται,
Χαῖρε δι' ἧς δυσμενεῖς καταργοῦνται.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Ζ**ωηφόρον ἡ θήκη, τῆς παντίμου σου Ζώνης, παρέχει εὐωδίαν Παρθένε, καὶ δυσωδίαν τὴν τῶν παθῶν, ἀπελαύνει ἀεὶ ἐκ τῶν ψυχῶν ἡμῶν· διὸ τὰ μεγαλεῖά σου, θαυμάζοντες ἀναβοῶμεν·

**Ἀλληλούϊα.**

**Ἡ** ἁγία σου Ζώνη, Παναγία Παρθένε, ὡς φῶς ἐκλάμπτει ἐν Ὄρει Ἄθω, καὶ λαμπηδόνας χρυσοειδεῖς, πανταχοῦ ἀπαστράπτει τῆς σῆς χάριτος· διὸ ταύτης τὰ θαύματα, γεραίροντες πίστει βοῶμεν·

Χαῖρε θαυμάτων ἡ χορηγία,
χαῖρε χαρίτων λαμπαδουχία.
Χαῖρε κειμηλίων κειμήλιον ἅγιον,
χαῖρε καρδιῶν θεοφρόνων λαμπάδιον.
Χαῖρε Ζώνη ἣν ἐφόρεσεν ἡ Πανάχραντος ἐν γῇ,
χαῖρε πᾶσιν ἡ παρέχουσα χάριν καὶ πολλὴν ἰσχύν.
Χαῖρε ὅτι ἐκφαίνεις τῆς Παρθένου τὴν δόξαν,
χαῖρε ὅτι ἐκτρέπεις τῶν δαιμόνων τὰ τόξα.
Χαῖρε πολλὰς ἰάσεις βλυστάνουσα,
χαῖρε ψυχὰς παθῶν ἀπαλλάττουσα.
Χαῖρε πιστῶν ἀγαλλίαμα θεῖον,
χαῖρε σεπτὸν εὐσπλαγχνίας ταμεῖον.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Θ**εοδώρητον δῶρον, καὶ οὐράνιον ὄλβον, κατέχοντες τὴν Ζώνην σου Κόρη, περιζωννύμεθα δι' αὐτῆς, κατὰ παθῶν ἀπροσμάχητον δύναμιν· χάριν γὰρ καὶ ἔλεος, ἀεὶ βραβεύει τοῖς ἐκβοῶσιν·

**Ἀλληλούϊα.**

**Ἴ**αμα ἀναβλύζει, ἡ ἁγία σου Ζώνη, κατὰ ψυχὴν καὶ σῶμα Κόρη, καθάπερ δρόσον ἐαρινήν, ὡς φησὶν ὁ Ἡσαΐας Πανάχραντε, καὶ γλυκασμὸν οὐράνιον, τοῖς εὐλαβῶς ταύτῃ βοῶσι·

Χαῖρε πηγὴ ἀΰλων ναμάτων,
χαῖρε ῥοὴ πολλῶν χαρισμάτων.
Χαῖρε τῆς Πανάγνου ἡ Ζώνη ἡ πάντιμος,
χαῖρε Ἐκκλησίας χαρὰ ἡ οὐράνιος.
Χαῖρε ἅγιον θησαύρισμα δόσεων πνευματικῶν,
χαῖρε ἔνδοξον στεφάνωμα εὐσεβῶν Χριστιανῶν.
Χαῖρε Βατοπαιδίου ἀῤῥαγέστατον τεῖχος,
χαῖρε παντὸς τοῦ κόσμου πύργος θείας ἰσχύος.
Χαῖρε σεπτὸν τῆς Παρθένου ζώνιον,
χαῖρε ἡμῶν θεόσδοτον ὤνιον.

Χαῖρε τῆς μόνης Παρθένου ἡ Ζώνη,
χαῖρε πιστῶν θεοβράβευτος ῥώμη.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

Κέκτηται ἡ Μονή σου, ἡ τοῦ Βατοπαιδίου, ὡς ἔνθεον θησαύρισμα Κόρη, τὴν σὴν Ζώνην τὴν θαυμαστήν, καὶ τοῖς θαυμασίοις αὐτῆς σεμνύνεται, καὶ χαριστηρίους ὕμνους σοι, προσᾴδει ἀναβοῶσα·

**᾿Αλληλούϊα.**

Λάμπον φῶς καθωρᾶτο, τῇ ἁγίᾳ σου Ζώνῃ, ἡνίκα μετήνεκται ἐν Θήρᾳ· ἔνθεν ἐν εὐλαβείᾳ πολλῇ τῇ Μονῇ σου ταύτην μετακόμισαν, ὑμνοῦντές σου τὴν πρόνοιαν, καὶ βοῶντες ἐν εὐφροσύνῃ.

Χαῖρε ἡ Ζώνη τῆς Θεοτόκου,
χαῖρε ἡ δόξα Βατοπαιδίου.
Χαῖρε ἣν ἡ χάρις σκιάζει τοῦ Πνεύματος,
χαῖρε ἣν γεραίρει λαὸς ὁ Χριστώνυμος.
Χαῖρε συστοιχία πάντιμος οὐρανίων δωρεῶν,
χαῖρε ὑμνῳδία ἄπαυστος Μοναστῶν καὶ ᾿Ασκητῶν.
Χαῖρε ὅτι πηγάζεις ἰαμάτων τὰ ῥεῖθρα,
χαῖρε ὅτι σβεννύεις παθημάτων τὴν φλόγα.
Χαῖρε σεπτὸν τῆς ῾Αγνῆς διάζωσμα,
χαῖρε πιστῶν ἁπάντων διάσωσμα.
Χαῖρε φωτὸς ἀπαστράπτουσα αἴγλην,
χαῖρε παθῶν καταπαύουσα λύμην.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

Μεγαλύνομεν πάντες, τὰ πολλὰ μεγαλεῖα, τῆς πρὸς ἡμᾶς σου κηδεμονίας, καὶ τὴν Ζώνην σου τὴν ἱεράν, περικυκλοῦντες ἐν πίστει Πανύμνητε, ἁγιασμοῦ πληρούμεθα, καὶ τῷ Υἱῷ σου ἐκβοῶμεν·

**᾿Αλληλούϊα**

Νοητὴν ὡς νεφέλην, τὴν ἁγίαν σου Ζώνην, ἐφάπλωσον ἡμῖν Θεοτόκε, καὶ πλήρωσον ἡμῶν τὰς ψυχάς, ἁγιασμοῦ καὶ θείας κατανύξεως· πρὸς σὲ γὰρ καταφεύγομεν, καὶ τῇ Ζώνῃ σου ἐκβοῶμεν·

Χαῖρε ἑστία χάριτος θείας,
χαῖρε ἡ βρύσις τῆς συμπαθείας,
Χαῖρε δωρεῶν θεοσδότων θησαύρισμα,
χαῖρε τῆς ῾Αγνῆς Θεοτόκου διάζωσμα.
Χαῖρε ἀσφαλείας σύνδεσμος καὶ εἰρήνης χορηγός,
χαῖρε στήριγμα στεῤῥότατον εὐσεβῶν καὶ γλυκασμός.

Χαῖρε ὅτι ἐκλάμπεις τῶν θαυμάτων ἀκτῖνας,
χαῖρε ὅτι σκεδάζεις χαλεπὰς ἀσθενείας.
Χαῖρε αὐγὴ Θεοῦ ἀγαθότητος,
χαῖρε ἀλκὴ ἡμῶν θεοδώρητος.
Χαῖρε χαρὰν ἀληθῆ χορηγοῦσα,
χαῖρε φθορὰν ψυχικὴν θανατοῦσα.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

Ξένα τὰ θαυματά σου, ὦ ὑπέρτιμε Ζώνη, τῆς παντοβασιλίσσης Παρθένου· καὶ ἀσθενείας λοιμικῆς, τὴν Κωνσταντινούπολιν ἠλευθέρωσας, εἰς θαυμασμὸν καὶ ἔκπληξιν, τῶν βοώντων ἐν κατανύξει·

**Ἀλληλούϊα.**

Ὅρμος χειμαζομένων, ἡ ἁγία σου Ζώνη, ἐδείχθη Θεοτόκε Παρθένε· ἡ γὰρ χάρις σου ἡ ἐν αὐτῇ, ἐνεργεῖ τοῖς προσιοῦσι τὰ θαύματα· διὸ ταύτῃ προσπίπτοντες, ἀναβοῶμεν μετὰ πόθου·

Χαῖρε σορὸς καλῶν οὐρανίων,
χαῖρε κρουνὸς θαυμάτων ποικίλων.
Χαῖρε πρὸς ἡμᾶς τῆς Παρθένου ἐπίσκεψις
χαῖρε θλιβομένων ψυχῶν ἡ ἀντίληψις.
Χαῖρε θεῖον ἐνδιαίτημα ἐνεργείας θεϊκῆς,
χαῖρε ἅγιον θησαύρισμα χάριτος Παρθενικῆς.
Χαῖρε ὅτι χολέρας τὸ Βυζάντιον σώζεις,
χαῖρε ὅτι τοῖς πᾶσιν ἀρωγὴν θᾶττον νέμεις.
Χαῖρε παθῶν σβεννύουσα ἄνθρακας,
χαῖρε ὑμᾶς εὐφραίνουσα ἅπαντας.
Χαῖρε πολλῶν δωρεῶν πρυτανεῖον,
χαῖρε σεπτὸν θείας δόξης ταμεῖον.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

Πλήρης δόξης ἁγίας, τῆς σῆς Ζώνης ὁρᾶται, ἡ θήκη ἀληθῶς ἡ ἁγία, Θεοτόκε Παρθένε Ἁγνή, καταπλήττουσα ἡμῶν τὴν διάνοιαν· ὀσμὴν γὰρ ὑπερκόσμιον, διαπνέει τοῖς ἐκβοῶσιν·

**Ἀλληλούϊα.**

Ῥάβδος θείας ἰσχύος, ἡ σὴ Ζώνη ἐδόθη, ἡμῖν ἡ θαυμαστὴ Θεομῆτορ· τῇ νοητῇ γὰρ αὐτῆς ῥοπῇ, ἐκ παντὸς κινδύνου ἀπαλλαττόμεθα, καὶ χάριτος πληρούμεθα, ἐκβοῶντες ἐν εὐλαβείᾳ·

Χαῖρε δοχεῖον ὀσμῆς ἁγίας,
χαῖρε διάδημα ἀφθαρσίας.

Χαῖρε Μοναζόντων σεμνὸν καταφύγιον,
χαῖρε τῶν ἐν Ἄθῳ δόμα ὑπερύμνητον.
Χαῖρε πάντιμον ἁγίασμα τῆς Παρθένου καὶ Ἁγνῆς,
χαῖρε δώρημα παντέλειον ὄντως πρὸς ἡμᾶς αὐτῆς.
Χαῖρε Βατοπαιδίου ἀληθὴς εὐφροσύνη,
χαῖρε πάσης καρδίας εὐσεβοῦς χαρμοσύνη.
Χαῖρε ὀσμὴ ἀνθέων τῆς χάριτος,
χαῖρε πνοὴ τῆς ἄνω τερπνότητος.
Χαῖρε φιάλη ἀρωμάτων θείων,
χαῖρε ὑμνῳδία θεία Ἁγίων.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Σ**κέπην καὶ προστασίαν, καὶ βοήθειαν θείαν, καρπούμενοι ἀεὶ Παναγία, ἐκ τῆς μυριπνόου Ζώνης σου, μετὰ πίστεως ταύτῃ προσερχόμεθα, καὶ εὐλαβῶς προσπίπτοντες, τῷ ἐκ σοῦ τεχθέντι βοῶμεν·

**Ἀλληλούϊα.**

**Τ**ῆς ἁγίας σου Ζώνης, χάριτι Θεοτόκε, περίζωσον ἡμᾶς δυναστείαν, κατὰ τοῦ ἀρχεκάκου ἐχθροῦ, ὠρυομένου καθ' ἡμῶν ὡς λέοντος, ὡς ἂν περιγενώμεθα, τῆς τούτου κακίας βοῶντες·

Χαῖρε ζωστὴρ τῆς Ἁγνῆς Παρθένου,
χαῖρε κρατὴρ ἰσχύος Κυρίου.
Χαῖρε ἡμᾶς ἡ συνδεσμοῦσα καὶ σώζουσα,
χαῖρε τῶν παθῶν τοὺς συνδέσμους ἡ λύουσα.
Χαῖρε ζῶσμα τιμαλφέστατον τῆς τεκούσης τὸν Χριστόν,
χαῖρε δόμα ἱερώτατον πρὸς τὸν εὐσεβῆ λαόν.
Χαῖρε ἡ χορηγοῦσα ἡμῖν δύναμιν θείαν,
χαῖρε ἡ ἀναιροῦσα τοῦ ἐχθροῦ τὴν μανίαν.
Χαῖρε ὢ Ζώνη τῆς Θεομήτορος,
χαῖρε ὢ κλέος ἡμῶν καὶ σύνδεσμος.
Χαῖρε Χριστοῦ Ἐκκλησίας ὁ κόσμος,
χαῖρε λαοῦ Ὀρθοδόξου τὸ σθένος.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Ὕ**μνοις χαριστηρίοις, πανυπέρτιμε Ζώνη, τῆς τεκούσης τὸν πάντων Κτίστην, ἀνυμνοῦμεν τὴν σὴν χάριν ἀεί, ἀπολαύοντες τῶν πολλῶν θαυμάτων σου, καὶ τὴν Ἁγνὴν Παντάνασσαν, δοξάζομεν Χριστῷ βοῶντες·

**Ἀλληλούϊα.**

**Φ**ωτοδόχον λαμπάδα, τὴν ἁγίαν σου Ζώνην, Βατοπαιδίου σχοῦσα ἡ Μάνδρα, λαμπρύνεται Παρθένε ἀεί, καὶ τὴν πρὸς αὐτὴν δοξάζει σου πρόνοιαν· ὅτι ταύτῃ δεδώρησαι, τὴν Ζώνην σου πιστῶς βοώσῃ·

Χαῖρε ἡ Ζώνη τῆς θεοτόκου,
χαῖρε λυχνία φωτὸς τριφώτου.
Χαῖρε διεστώτων ἡ ἔνθεος σύναψις,
χαῖρε ἀσθενούντων θεόσδοτος δύναμις.
Χαῖρε κράτος ἡ παρέχουσα θεία Ζώνη τοῖς πιστοῖς,
χαῖρε στίφος ἡ ὀλλύουσα τοῦ Βελίαρ πανστρατεῖ.
Χαῖρε ὅτι ῥωννύεις τῶν ψυχῶν τὰς δυνάμεις,
χαῖρε ὅτι ἰθύνεις πρὸς καλὰς ἀναβάσεις.
Χαῖρε ψυχῶν ἐκπλύνουσα τραύματα,
χαῖρε ἐχθρῶν συντρίβουσα ἅρματα.
Χαῖρε ἡμῶν ἀληθὴς θυμηδία,
χαῖρε πιστῶν θεία παραμυθία.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Χ**αίρει Βατοπαιδίου, ἡ Μονὴ Θεοτόκε, κατέχουσα τὴν θειαν σου Ζώνην, καὶ πάσας συγκαλεῖ τὰς Μονάς, πρὸς δοξολογίαν τῶν μεγαλείων σου, δοξάζουσα τὴν δόξαν σου, καὶ ἐκβοῶσα τῇ Τριάδι·

**Ἀλληλούϊα.**

**Ψ**άλλοντες κατὰ χρέος, Θεοτόκε Παρθένε, τῆς Ζώνης σου τὴν ἄφθονον χάριν, κηρύττομεν εὐσήμως Ἁγνή, τὴν πρὸς ἡμᾶς σου πλουσίαν προμήθειαν, καὶ τῇ ἁγίᾳ Ζώνῃ σου, ἐκβοῶμεν πανευχαρίστως·

Χαῖρε σειρὰ σεπτὴ τῆς Παρθένου,
χαῖρε χαρὰ τοῦ Βατοπαιδίου.
Χαῖρε τοὺς πιστοὺς πρὸς Θεὸν ἡ ἀνάγουσα,
χαῖρε πρὸς ζωὴν ἀληθῆ ἡ συνάγουσα.
Χαῖρε Ζώνη πανυπέρτιμε, Ἐκκλησίας θησαυρέ,
χαῖρε κόσμου ἀγαλλίαμα, καὶ εἰρήνης χορηγέ.
Χαῖρε τῶν εὐσεβούντων προσφυγὴ σωτηρίας,
χαῖρε τῶν Μοναζόντων πλοῦτος παρηγορίας.
Χαῖρε δι᾽ ἧς παθῶν καθαρθήσομαι,
χαῖρε δι᾽ ἧς φωτὸς πληρωθήσομαι.
Χαῖρε χαρὰ ἀληθὴς τῆς ψυχῆς μου,
χαῖρε λιμὴν ἀσφαλὴς τῆς ζωῆς μου.

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Ὢ** ὑπέρτιμε Ζώνη, τῆς Ἁγνῆς Θεοτόκου, ἡ ζώσασα τὸ ἄχραντον σῶμα ***(ἐκ γ')***, δίδου ἡμῖν ἐκ τοῦ θησαυροῦ, τῆς ἐν σοὶ σκηνούσης θείας Χάριτος ζωοποιὸν ἐνέργειαν, ἵνα τῷ Χριστῷ ἀεὶ βοῶμεν·

**Ἀλληλούϊα.**

**Καί αὖθις τό Κοντάκιον.**

***Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.***

**Τ**ῇ ὑπερτίμῳ Θεοτόκε θείᾳ Ζώνῃ σου, μετ' εὐλαβείας προσερχόμενοι πληρούμεθα, φωτισμοῦ καὶ εὐωδίας ὑπερκοσμίου. Ἀλλ' ὡς πέλαγος Παρθένε ἀγαθότητος, ἡμᾶς ζῶσον τῇ δυνάμει αὐτῆς Ἄχραντε, τοὺς κραυγάζοντας·

**Χαῖρε Ζώνη ὑπέρτιμε.**

**Δίστιχον.**

**Ζ**ώνης τῆς Ἁγνῆς Θεοτόκου ἐν οἴκοις,
**Γ**εράσιμος ὕμνησε τὰ μεγαλεῖα.

ΔΟΞΑ ΤΩ ΘΕΩ